μέντοι Θαλῆς τὸ ζεῦγος ἐπὶ ταῖς θύραις ἰδὼν [καὶ] μειδιάσας
ἀφῆκεν. ἐβαδίζομεν οὖν ἐκτραπόμενοι διὰ τῶν χωρίων καθ᾽
ἡσυχίαν, καὶ μεθ᾽ ἡμῶν τρίτος ὁ Ναυκρατίτης Νειλόξενος, E
ἀνὴρ ἐπιεικὴς καὶ τοῖς περὶ Σόλωνα καὶ Θαλῆν γεγονὼς ἐν
Αἰγύπτῳ συνήθης. ἐτύγχανε δὲ πρὸς Βίαντα πάλιν ἀπεσταλ-
μένος· ὧν δὲ χάριν, οὐδ᾽ αὐτὸς ᾔδει, πλὴν ὑπενόει πρόβλημα
δεύτερον αὐτῷ κομίζειν ἐν βιβλίῳ κατασεσημασμένον· εἴρητο
γάρ, εἰ Βίας ἀπαγορεύσειεν, ἐπιδεῖξαι τοῖς σοφωτάτοις Ἑλ-
λήνων τὸ βιβλίον. 'ἕρμαιον ⟨οὖν⟩' ὁ Νειλόξενος ἔφη 'μοι
γέγονεν ἐνταῦθα λαβεῖν ἅπαντας ὑμᾶς, καὶ κομίζω τὸ βιβλίον
ὡς ὁρᾷς ἐπὶ τὸ δεῖπνον.' ἅμα δ᾽ ἡμῖν ἐπεδείκνυε. καὶ ὁ Θαλῆς
γελάσας 'εἴ τι κακόν' εἶπεν, 'αὖθις εἰς Πριήνην· διαλύσει·
γὰρ ὁ Βίας, ὡς διέλυσεν αὐτὸς τὸ πρῶτον.' 'τί δ᾽ ἦν' ἔφην F
ἐγώ 'τὸ πρῶτον;' 'ἱερεῖον' εἶπεν 'ἔπεμψεν αὐτῷ, κελεύσας
τὸ πονηρότατον ἐξελόντα καὶ χρηστότατον ἀποπέμψαι κρέας.
ὁ δ᾽ ἡμέτερος εὖ καὶ καλῶς τὴν γλῶτταν ἐξελὼν ἔπεμψεν·
ὅθεν εὐδοκιμῶν δῆλός ἐστι καὶ θαυμαζόμενος.' | 'οὐ διὰ ταῦτ᾽' 147
ἔφη 'μόνον' ὁ Νειλόξενος, 'ἀλλ᾽ οὐ φεύγει τὸ φίλος εἶναι καὶ
λέγεσθαι βασιλέων καθάπερ ὑμεῖς· ἐπεὶ σοῦ γε καὶ τἄλλα θαυ-
μάζει, καὶ τῆς πυραμίδος τὴν μέτρησιν ὑπερφυῶς ἠγάπησεν,
ὅτι πάσης ἄνευ πραγματείας καὶ μηδενὸς ὀργάνου δεηθεὶς
ἀλλὰ τὴν βακτηρίαν στήσας ἐπὶ τῷ πέρατι τῆς σκιᾶς ἣν ἡ
πυραμὶς ἐποίει, γενομένων τῇ ἐπαφῇ τῆς ἀκτῖνος δυεῖν τρι-
γώνων, ἔδειξας ὃν ἡ σκιὰ πρὸς τὴν σκιὰν λόγον εἶχε τὴν πυ-
ραμίδα πρὸς τὴν βακτηρίαν ἔχουσαν (Vors. 11 A 21). ἀλλ᾽, ὅπερ
ἔφην, διεβλήθης μισοβασιλεὺς εἶναι, καί τινες ὑβριστικαί σου

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/307 UNIVERSITÄT LEIPZIG